www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ ΠΛΗΡΗΣ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ & ΚΑΛΛΙΝΙΚΟΥ ΜΑΡΤΥΡΟΣ ΦΑΝΟΥΡΙΟΥ ΤΟΥ ΝΕΟΦΑΝΟΥΣ

*(Οὗ ἡ μνήμη τῇ 27η Αὐγούστου)*

* Ἅγιον Ὄρος Ἄθως * 2010 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



# ΤΗι ΚΖ΄ ΤΟΥ ΜΗΝΟΣ ΑΥΓΟΥΣΤΟΥ
# ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ
# ΦΑΝΟΥΡΙΟΥ ΤΟΥ ΝΕΟΦΑΝΟΥΣ

* * *

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς προσόμοια.*

*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

Ὅτε ὁ σὸς ἅγιος ναός, ὢν ὑπὸ τὴν γῆν κεκρυμμένος, ἀνεκαλύφθη ἡμῖν, τότε σοῦ ἡ ἄθλησις, κόσμῳ ἐγνώρισται, ἥν περ πάλαι ἠγώνισαι, Φανούριε Μάρτυς, καὶ κατεπολέμησας, ἐχθρὸν τὸν δόλιον· ὅθεν καὶ ἐν θαύμασι ξένοις, καὶ ἐν ἀντιλήψεσι πλείσταις, μέγας ἀνεδείχθης ἐν τοῖς Μάρτυσι.

Ὅτε ἡ εἰκών σου ἡ σεπτή, τῶν σῶν παλαισμάτων τὰ εἴδη, πᾶσιν ὑπέδειξε, τότε κατεπλάγησαν, τὰς τῶν ἀγώνων σου, ἀριστείας Φανούριε, οἱ ταύτας ἰδόντες, ἃς ἠγνόουν πρότερον, Χριστὸν δοξάζοντες· ὅθεν καὶ ναὸν ἱερόν σοι, ἤγειραν τῆς σῆς προστασίας, δαψιλῶς καρπούμενοι τὰς χάριτας.

Ὅτε αἰχμαλώτους ἱερεῖς, τῇ σῇ πρὸς Χριστὸν ἐλυτρώσω, πρεσβείᾳ Ἅγιε, τότε τῶν θαυμάτων σου, χάρις ἡ ἔνθεος, πανταχοῦ διεξέδραμε, καὶ πάντες προστάτην, ἔσχον σε θερμότατον, Μάρτυς Φανούριε· ὅθεν ἀπὸ πάσης ἀνάγκης, ῥύου καθ᾽ ἑκάστην τρισμάκαρ, τοὺς εἰλικρινῶς σε μακαρίζοντας.

Ῥόδος ἡ περίφημος ἐν σοί, νῆσος ἐγκαυχᾶται καὶ χαίρει, Μάρτυς Φανούριε· θεῖον γάρ σε καύχημα, καὶ ἀντιλήπτορα, καὶ μεσίτην θερμότατον, πρὸς Κύριον εὗρε· πᾶσα δὲ γεραίρει σε, ἡ Ἐκκλησία

Χριστοῦ· πᾶσι γὰρ τὰ πρόσφορα δίδως, καὶ ἑνὶ ἑκάστῳ παρέχεις, τὰς αἰτήσεις Ἅγιε καλούμενος.

*Δόξα. Ἦχος δ΄.*

Ἀθλητικὸν ὑπελθὼν ἀγῶνα, καὶ τοῦ ἀοράτου ἐχθροῦ τὰς μηχανὰς συντρίψας, ἄγνωστος ἐτέλεις τῇ Ἐκκλησίᾳ, γνωστὸς δὲ τῷ Θεῷ, τῷ σὲ λαμπρῶς δοξάσαντι, μεγαλομάρτυς Φανούριε· ἀλλ᾽ ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν, γνωσθεὶς τοῖς πέρασι, θαυμάτων ῥεῖθρα πηγάζεις, τὴν σὴν πρὸς Χριστὸν ἐμφαίνων οἰκείωσιν, ὡς νομίμως καὶ καλῶς ἀγωνισάμενος! καὶ πᾶσι παρέχεις ταῖς ἱκεσίαις σου, πταισμάτων ἱλασμόν, καὶ τὸ μέγα ἔλεος.

*Καὶ νῦν.Τῆς ἑορτῆς, ἦχος β΄.*

Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα, καὶ πάσης κτίσεως τιμιωτέρα· ἡ δι’ ὑπερβάλλουσαν καθαρότητα, τῆς ἀϊδίου οὐσίας δοχεῖον γεγενημένη, ἐν ταῖς τοῦ Υἱοῦ χερσί, σήμερον τὴν παναγίαν παρατίθεται ψυχήν, καὶ σὺν αὐτῇ πληροῦται τὰ σύμπαντα χαρᾶς, καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος.

*Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Μέγας ἐν ἀθληταῖς, Φανούριε ἐδείχθης, μεγίστοις θαυμασίοις, τῶν ἀναγκῶν ἐξαίρων, τοὺς σὲ καλοῦντας Ἅγιε.

*Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.*

Νέος ὢν κομιδῇ, τῷ σώματι θεόφρον, καθεῖλες τῇ ἀθλήσει, τὸν πάλαι τὴν κακίαν, Φανούριε τεκτήναντα.

*Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Ῥῦσαι πάσης ὀργῆς, καὶ βλάβης καὶ ἀνάγκης, τοὺς πίστει ἐκτελοῦντας, τὴν ἱεράν σου μνήμην, Φανούριε πανθαύμαστε.

*Δόξα. Τριαδικόν.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Φύσις ἡ τριλαμπής, Πάτερ Υἱὲ καὶ Πνεῦμα, λιταῖς τοῦ Φανουρίου, παράσχου τῷ λαῷ σου, τὰ πλούσια ἐλέη σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα ἀγαθή, τὰς ἁγίας σου χεῖρας, πρὸς τὸν Υἱόν σου ἆρον, τὸν φιλόψυχον πλάστην, οἰκτιρῆσαι τοὺς δούλους σου.

*Νῦν ἀπολύεις. Τὸ τρισάγιον. Τό ἀπολυτίκιον ἐκ τοῦ μεγάλου Ἑσπερινοῦ Καὶ ἀπόλυσις.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

*Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν στιχηρά.*

*Τῆς ἑορτῆς δύο. Ἦχος α΄. Αὐτόμελον.*

Ὢ τοῦ παραδόξου θαύματος! ἡ πηγὴ τῆς ζωῆς, ἐν μνημείῳ τίθεται, καὶ κλίμαξ πρὸς οὐρανόν, ὁ τάφος γίνεται. Εὐφραίνου Γεθσημανῆ, τῆς Θεοτόκου τὸ ἅγιον τέμενος. Βοήσωμεν οἱ πιστοί, τὸν Γαβριὴλ κεκτημένοι ταξίαρχον· Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ διὰ σοῦ τὸ μέγα ἔλεος.

Βαβαὶ τῶν σῶν μυστηρίων ἁγνή! τοῦ Ὑψίστου θρόνος, ἀνεδείχθης Δέσποινα, καὶ γῆθεν πρὸς οὐρανόν, μετέστης σήμερον. Ἡ δόξα σου εὐπρεπής, θεοφεγγέσιν ἐκλάμπουσα χάρισι. Παρθένοι σὺν τῇ Μητρὶ τοῦ Βασιλέως πρὸς ὕψος ἐπάρθητε. Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

*καὶ τοῦ Ἁγίου ἕξ. Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος!*

Ὢ τοῦ παραδόξου θαύματος! ὥσπερ φῶς θαυμαστόν, ὁ κλεινὸς Φανούριος, ἀνέτειλε τοῖς ἐν γῇ, νεύσει τῇ κρείττονι· ἀδήλως γὰρ τὸν ἐχθρόν, καταβαλὼν δι᾽ ἀγώνων ἀθλήσεως, τοῦ θείου αὐτοῦ ναοῦ, τῇ φανερώσει ἐγνώσθη τοῖς πέρασιν. Ὅθεν τὴν ἁγίαν μνήμην, τούτου ἑορτάσωμεν, τὸν Σωτῆρα ὑμνοῦντες, τὸν λαμπρῶς αὐτὸν δοξάσαντα.

Βαβαὶ τῆς σῆς καρτερίας σοφέ! σὺ γὰρ ὑπὲρ φύσιν, ἤνυσας παλαίσματα, καὶ μέγας ἐν ἀθληταῖς, ὤφθης Φανούριε· ἐντεῦθεν νεοφανής, τῇ Ἐκκλησίᾳ Χριστοῦ ὤφθης ἥλιος, κρυπτόμενος ὑπὸ γῆν, ὁ ἐν ὑψίστοις λαμπρῶς δοξαζόμενος, καὶ θαυμάτων ταῖς ἀκτῖσι, καταυγάζεις ἅπαντας, τοὺς προστρέχοντας Μάρτυς, τῇ ταχείᾳ ἀντιλήψει σου.

Τὴν σὴν γεραίρομεν ἄθλησιν, ἀθλητὰ Κυρίου, ἔνδοξε Φανούριε, ἣν πάλαι ὑπὲρ Χριστοῦ, νομίμως ἤθλησας, καὶ ἄρτι πᾶσιν ἡμῖν, τῇ φανερώσει τῆς θείας εἰκόνος σου, ἐποίησας ἐμφανῆ, εἰς εὐφροσύνην ἡμῶν τῶν βοώντων σοι· χαίροις ἀθλοφόρων κλέος, Ἐκκλησίας στήριγμα, καὶ καλύβης ἐν Βίγλᾳ, ἐγκαλλώπισμα καὶ σέμνωμα.

*Προσόμοια ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Ὡς ἀθλήσας στεῤῥότατα, ἀθλοφόρε Φανούριε, ἐν ἀδήλοις ἔτεσι θείῳ ἔρωτι, δόξης λαμπρᾶς κατηξίωσαι, καὶ μέτοχος γέγονας, οὐρανίων ἀγαθῶν, ἀλλ᾽ ἡμῖν χρόνοις πλείοσιν, ὤφθης ἄγνωστος, καὶ γνωσθεὶς ἐπ᾽ ἐσχάτων καταπλήττεις, τοῦ Χριστοῦ τὴν Ἐκκλησίαν, τῇ δεομένῃ σοὶ χάριτι.

Τὸν ναόν σου τὸν ἅγιον, ἐν τῇ Ῥόδῳ κρυπτόμενον, ὡς ἀνεῦρον Ἅγιε θείῳ νεύματι, χαρᾶς πολλῆς ἐπληρώθησαν, μαθόντες τὴν κλῆσίν σου, καὶ τοὺς ἄθλους τοὺς λαμπρούς, οὓς ἠγνόοουν τὸ πρότερον, καὶ σὲ ὕμνησαν, ὡς περίδοξον Μάρτυρα Κυρίου, χαρμοσύνως ἐκτελοῦντες, τὴν παμφαῆ σου πανήγυριν.

Ἐν νεότητι σώματος, τὸν ἀρχέκακον δράκοντα, ἀθλητὰ Φανούριε καταβέβληκας, καὶ δοξασθεὶς θείῳ Πνεύματι, προστάτης θερμότατος, ἀνεδείχθης τῶν πιστῶν, αἰχμαλώτους λυτρούμενος, τῇ πρεσβείᾳ σου, φανερῶν τὰ κρυπτὰ τοῖς προσιοῦσι, καὶ παρέχων τοῖς αἰτοῦσι, τὴν σὴν ὀξεῖαν βοήθειαν.

*Δόξα. Ἦχος πλ. β΄.*

Ἀστὴρ νεοφανὴς τῇ Ἐκκλησίᾳ ἐφάνης, ἄρτι ἡμῖν φανερωθείς, ἀθλοφόρε Φανούριε· καὶ τῇ σῇ ἐκφάνσει, τῶν κεκρυμμένων ἐν σοὶ δωρεῶν τὸν πλοῦτον, ἐκφαίνεις ἀληθῶς, τοῖς τὴν παγγέραστον μνήμην γεραίρουσι, καὶ συμφώνως βοῶσί σοι· χαίροις στρατιῶτα Χριστοῦ πανθαύμαστε, ὁ τῆς εὐσεβείας τὸν ἀγῶνα, ἀθλητικῶς ἀγωνισάμενος· χαίροις ὁ τῷ φωτὶ Κυρίου ἐντρυφῶν, καὶ φερωνύμως φανερῶν, τῶν ἀφανῶν τὴν γνῶσιν· χαίροις Ῥοδίων ἀγλάϊσμα,

Μαρτύρων λαμπρότης, καὶ ἀσκητῶν τῶν ἐν Βίγλᾳ πρεσβευτὴς πρὸς Κύριον. Ὧι πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς. Ὁ αὐτός.*

Τῇ ἀθανάτῳ σου Κοιμήσει, Θεοτόκε Μήτηρ τῆς ζωῆς, νεφέλαι τοὺς Ἀποστόλους, αἰθερίους διήρπαζον, καὶ κοσμικῶς διεσπαρμένους, ὁμοχώρους παρέστησαν τῷ ἀχράντῳ σου σώματι· οἳ καὶ κηδεύσαντες σεπτῶς, τὴν φωνὴν τοῦ Γαβριήλ, μελῳδοῦντες ἀνεβόων· Χαῖρε κεχαριτωμένη, Παρθένε Μήτηρ ἀνύμφευτε, ὁ Κύριος μετὰ σοῦ. Μεθ' ὧν ὡς Υἱόν σου καὶ Θεὸν ἡμῶν, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.*

*Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα*
*(Κεφ. μγ΄ 9-14).*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; Ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδησα, καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα*
*(Κεφ. γ΄ 1-9).*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτούς, ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα*
*(Κεφ. ε΄ 15).*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

*Ψάλλομεν στιχηρὰ ἰδιόμελα.*
*Ἦχος α΄.*

Ἀγαλλιᾶται ἐν Κυρίῳ, ἡ Ῥόδος τῇ σῇ χάριτι, καὶ ἡ ἐν Βίγλᾳ φερώνυμος ἀσκητικὴ καλλιά, τῇ θερμῇ ἀντιλήψει σου, μεγαλομάρτυς Φανούριε· μέγας γὰρ ἐν θαύμασι, καὶ μείζων ἐν προστασίαις, ἀληθῶς ἀναδείκνυσαι, ὡς ἀθλητὴς Χριστοῦ περιφανής· αἰχμαλώτους γὰρ λυτροῦσαι, τοὺς ἐν κινδύνοις τελοῦντας προφθάνεις, καὶ πᾶσι παρέχεις, τὰ πρὸς σωτηρίαν αἰτήματα. Ἀλλ᾽ ὡς ἔχων παῤῥησίαν, μὴ παύσῃ πρεσβεύων, δοῦναι ἱλασμὸν ἡμῖν, καὶ εἰρήνην καὶ μέγα ἔλεος.

*Ἦχος β΄*

Τῷ βασιλεῖ τῶν ὅλων στρατευσάμενος, ἐν τοῖς ὅπλοις τοῦ φωτὸς καταβέβληκας, τὸν τοῦ σκότους ἄρχοντα, ἀθλοφόρε Φανούριε· καὶ ποικίλαις προσπαλαίσας βασάνοις, πασῶν ὤφθης ἀκμαιότερος, τῷ πυρὶ στομούμενος, τῆς ἀγάπης τοῦ Χριστοῦ· καὶ θηρῶν ὁρμὴν μὴ πτήξας, καὶ ξεσμῶν τὴν ῥύμην ἐνέγκας, τοῖς πᾶσιν ἐφανέρωσας, τῆς εὐσεβείας τὴν δύναμιν. Ἀλλ᾽ ὡς ἐν ἄθλοις ἀήττητος, καὶ ἐν νίκαις περίδοξος, ἱκέτευε ὑπὲρ τῶν τιμώντων σε.

*Ἦχος γ΄*

Ἐρηρεισμένος ἀκλινῶς, τῷ θεμελίῳ τῆς πίστεως, οὐδαμῶς σεσάλευσαι, ταῖς ἐναντίαις προσπνεύσεσι· καὶ μεγίστῳ λίθῳ θλιβείς, πρὸς τὴν πέτραν τῆς ζωῆς, ὅλον τὸν νοῦν ἀπηώρησας, ὑπεριδὼν ὥραν νεότητος· καὶ τὸ σῶμα καταξανθείς, τὸν τῆς νεκρώσεως χιτῶνα ἀπεβάλου, καὶ ἀφθαρσίας τὴν στολήν, καὶ σωτηρίου τὸ ἔνδυμα, προφητικῶς ἠμφιάσω χριστόψυχε Φανούριε· ἐν ᾧ φαιδρῶς κοσμούμενος, καὶ ἀθλητικῷ διαδήματι ἐμπρέπων, ὑπὲρ ἡμῶν ἱκέτευε, ἀθλητῶν ἐγκαλλώπισμα.

*Ἦχος δ΄*

Ἐν ἀνδρείῳ φρονήματι, πρὸς μαρτυρικοὺς ἀπεδύσω ἀγῶνας, ἀθλοφόρε Φανούριε· καὶ ἐν αὐτοῖς ἀνδραγαθήσας, τῶν ἀντικειμένων τὰς ἀρχὰς ἐθριάμβευσας, καὶ πολλῶν ἐπάθλων, παρὰ Θεοῦ ἠξίωσαι· ὅθεν θαυμάτων ἐνεργῶν δυνάμεις, πανταχοῦ προφθάνεις καλούμενος· καὶ φρικτῇ ἐπιστασίᾳ, τοὺς αἰχμαλώτους ἱερεῖς ῥυσάμενος, καταπλήξας ποιναῖς οἷς ἐδούλευον. Μὴ παύσῃ παρέχων τὴν σὴν βοήθειαν, ἐν εὐκαιρίαις καὶ θλίψεσι, τοῖς προσιοῦσι τῇ πρεσβείᾳ σου.

*Δόξα. Ὁ αὐτός.*

Τὴν φερώνυμον κλῆσίν σου, ἀληθῆ τοῖς ἔργοις ἔδειξας, μεγαλομάρτυς Φανούριε· φανερωθεὶς γὰρ ἡμῖν, ὁ πρῴην κεκρυμμένος, πᾶσιν ἐφανέρωσας, μαρτυρικῶν χαρίτων λαμπρότητα, καὶ θαυμαστῆς προστασίας ἐνεργήματα, ὡς ἀθλητὴς Χριστοῦ δεδοξασμένος· ὅθεν τὴν μακαρίαν σου ἄθλησιν, καὶ τῆς εἰκόνος σου τὴν εὕρεσιν, φαιδρῶς ἑορτάζοντες, τὰς πρὸς ἡμᾶς σου ἀντιλήψεις κηρύττομεν, καὶ συμφώνως βοῶμέν σοι· Τῷ ἀθλοθέτῃ Λόγῳ πρέσβευε, ὡς ἂν εὕρωμεν ἔλεος, ἐν ἡμέρᾳ τῆς κρίσεως.

*Καὶ νῦν.Τῆς ἑορτῆς. Ἦχος πλ.α΄.*

Ἄισατε λαοί, τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν ᾄσατε· σήμερον γὰρ τὴν ὁλόφωτον ψυχὴν αὐτῆς, εἰς τὰς ἀχράντους παλάμας, τοῦ ἐξ αὐτῆς σαρκωθέντος ἄνευ σπορᾶς, παρατίθησιν, Ὧι καὶ πρεσβεύει ἀδιαλείπτως, δωρηθῆναι τῇ οἰκουμένῃ εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

*Στιχηρὰ προσόμοια. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις ὁ ἀθλητὴς τοῦ Χριστοῦ, ὁ καθελὼν τῶν δυσμενῶν τὴν παράταξιν, ἀθλήσεως τοῖς ἀγῶσιν, ἀνδρειοτάτῃ ψυχῇ, καὶ τῇ πανοπλίᾳ τῇ τῆς πίστεως· ὁ πόνων τοῦ σώματος, ἀφειδήσας ὡς ἄσαρκος, ἐν τῇ ἀγάπῃ, τοῦ λαμπρῶς δυναμοῦντός σε, ὃν ἐδόξασας, τοῖς οἰκείοις σου μέλεσιν· ἄνθος τὸ εὐωδέστατον, Φανούριε ἔνδοξε, τὸ

διαπνέον τῷ κόσμῳ, τὴν εὐωδίαν τὴν κρείττονα. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

*Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.*

Χαίροις ὁ ἀθλητὴς τοῦ Χριστοῦ, τῶν ἀθλοφόρων τὸ σεπτὸν ἐγκαλλώπισμα· ὁ πάλαι στεῤῥῶς ἀθλήσας, καὶ παραδόξως γνωσθείς, εὐδοκίᾳ θείᾳ ἐν τοῖς πέρασιν, εὑρέσει Φανούριε, τῆς πανσέπτου εἰκόνος σου, ἔνθα τὰ εἴδη, τῶν ἁγίων ἀγώνων σου, δι᾽ ὧν ἔνδοξος, ἐν τοῖς Μάρτυσι γέγονας. Ὅθεν ὡς στρατιώτην σε, Χριστοῦ γενναιότατον, καὶ τροπαιοῦχον ὁπλίτην, ὑμνολογοῦντες βοῶμέν σοι· ἀπαύστως δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

*Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις ὁ ἀθλητὴς τοῦ Χριστοῦ, τῆς Ἐκκλησίας ἀῤῥαγέστατος πρόβολος, τῆς Βίγλας ἀσκητηρίου, προστάτης καὶ βοηθός, καὶ μεσίτης μέγας πρὸς τὸν Κύριον· πασχόντων βοήθεια, αἰχμαλώτων ἀνάῤῥυσις, τῶν κεκρυμμένων, ἡ ταχεῖα φανέρωσις· ῥύστης ἕτοιμος, τῶν ἐν νόσοις καὶ θλίψεσι· κρήνη ἡ ἀναβλύζουσα, θαυμάτων τὰς χάριτας, εἰς εὐφροσύνην ἁπάντων, μεγαλομάρτυς Φανούριε. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Θωρακισάμενος τῆς πίστεως, τὴν μυστικὴν παντευχίαν, τὸν ἀλαζόνα τύραννον, κατηγωνίσω Φανούριε· τῶν γὰρ ποικίλων τιμωριῶν, περιεγένου ὡς ἀσώματος, πάντα φέρων, ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ· καὶ ἐν ἀσθενείᾳ φύσεως, λαμπρὸν ἐγείρας τρόπαιον, τῶν βραβείων τῆς ἄνω κλήσεως, περιφανῶς ἠξίωσαι. Καὶ νῦν Ἀγγέλοις συγχορεύων, ἱκέτευε μακάριε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν.Τῆς ἑορτῆς. Ἦχος β΄.*

Ἡ πανάμωμος νύμφη, καὶ Μήτηρ τῆς εὐδοκίας τοῦ Πατρός, ἡ Θεῷ προορισθεῖσα εἰς ἑαυτοῦ κατοίκησιν, τῆς ἀσυγχύτου ἑνώσεως,

σήμερον τὴν ἄχραντον ψυχήν, τῷ Ποιητῇ καὶ Θεῷ παρατίθεται· ἣν Ἀσωμάτων δυνάμεις, θεοπρεπῶς ὑποδέχονται, καὶ πρὸς ζωὴν μετατίθεται, ἡ ὄντως μήτηρ τῆς ζωῆς, ἡ λαμπὰς τοῦ ἀπροσίτου φωτός, ἡ σωτηρία τῶν πιστῶν, καὶ ἐλπὶς τῶν ψυχῶν ἡμῶν.

*Νῦν ἀπολύεις. Τὸ Τρισάγιον, καὶ τὰ Ἀπολυτίκια.*
*Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ὡς ἄστρον ἀνέτειλας, τῇ Ἐκκλησίᾳ Χριστοῦ, καὶ πάντας κατηύγασας, φανερωθεὶς θαυμαστῶς, Φανούριε ἔνδοξε· ὅθεν τοῖς εὐφημοῦσι, τὴν σὴν ἄθλησιν Μάρτυς, νέμεις τῶν σῶν θαυμάτων, τὴν σωτήριον χάριν, πρεσβεύων τῷ Κυρίῳ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τῶν Ῥοδίων τὸ κλέος, ἀσκητῶν μέγα καύχημα, τῶν θαυμάτων θείαις ἀκτῖσι, τοὺς πιστοὺς καταυγάζοντα, Φανούριον τιμήσωμεν πιστοί, ὡς μέγαν τοῦ Σωτῆρος ἀθλητήν· πᾶσαν χάριν γὰρ παρέχει τοῖς πρὸς αὐτόν, ἀπὸ ψυχῆς κραυγάζουσι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

*Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος α΄.*

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας· ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε· μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Καὶ Ἀπόλυσις.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

* * *

*Μετὰ τὴν α´ Στιχολογίαν, Κάθισμα. Ἦχος α´. Τὸν τάφον σου Σωτήρ.*

Ὡς νέον ἀθλητήν, εὐφημοῦμέν σε μάκαρ, κἂν ἤθλησας στεῤῥῶς, πρὸ πολλοῦ θείῳ πόθῳ· ἀρτίως γὰρ τοῖς πέρασιν, ἐπεγνώσθης Φανούριε, χάριν ἔλεος, ταῖς σαῖς πρεσβείαις παρέχων, τοῖς τελοῦσί σου, τὴν ἀξιέπαινον μνήμην, Μαρτύρων ἀγλάϊσμα.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς, ὅμοιον.*

Ὁ πάντιμος χορός, τῶν σοφῶν Ἀποστόλων, ἠθροίσθη θαυμαστῶς, τοῦ κηδεῦσαι ἐνδόξως, τὸ σῶμά σου τὸ ἄχραντον, Θεοτόκε πανύμνητε· οἷς συνύμνησαν, καὶ τῶν Ἀγγέλων τὰ πλήθη, τὴν Μετάστασιν, τὴν σὴν σεπτῶς εὐφημοῦντες· ἣν πίστει ἑορτάζομεν.

*Μετὰ τὴν β´ Στιχολογίαν, Κάθισμα. Ἦχος γ´. Θείας πίστεως.*

Πῦρ τὸ ἄϋλον, φέρων παμμάκαρ, πῦρ ὁμόδουλον, οὐκ ἐπτοήθης, ἀλλ᾽ ἐν αὐτῷ ἀκατάφλεκτος ἔμεινας· καὶ τῶν θηρῶν ὑποτάξας τὸ ὅρμημα, ὑπερφυῶς ἐδοξάσθης Φανούριε. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν, τῆς ἑορτῆς. Ἦχος ὁ αὐτός. Τὴν ὡραιότητα.*

Ἐν τῇ Γεννήσει σου, σύλληψις ἄσπορος· ἐν τῇ Κοιμήσει σου, νέκρωσις ἄφθορος· θαῦμα ἐν θαύματι διπλοῦν, συνέδραμε Θεοτόκε· πῶς γὰρ ἡ ἀπείρανδρος, βρεφοτρόφος ἁγνεύουσα; πῶς δὲ ἡ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

μητρόθεος, νεκροφόρος μυρίζουσα; Διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Μαρτυρήσας ἀνδρικῶς, ὑπὲρ τῆς δόξης τοῦ Χριστοῦ, ὑπὸ μόδιον σιγῆς, ἔμεινας ἔτεσι πολλοῖς, ἀλλ᾽ ἐπεγνώσθης ἐν Ῥόδῳ νεύματι θείῳ· ἔνθεν ἐμφανής, πᾶσι τοῖς πέρασι, θαύμασι πολλοῖς, Μάρτυς γενόμενος, τῇ Ἐκκλησίᾳ ἀρήγεις ἑκάστοτε, ἐν εὐκαιρίαις καὶ θλίψεσι· διό σε πάντες, ἀνευφημοῦμεν, Φανούριε ἀθλοφόρε.

*Δόξα. Καὶ νῦν, ὅμοιον, τῆς ἑορτῆς.*

Ἀναβόησον Δαυῒδ, τίς ἡ παροῦσα ἑορτή; Ἣν ἀνύμνησα φησίν, ἐν τῷ βιβλίῳ τῶν Ψαλμῶν, ὡς θυγατέρα θεόπαιδα καὶ Παρθένον, μετέστησεν αὐτήν, πρὸς τὰς ἐκεῖθεν μονάς, Χριστὸς ὁ ἐξ αὐτῆς, ἄνευ σπορᾶς γεννηθείς· καὶ διὰ τοῦτο χαίρουσι μητέρες, καὶ θυγατέρες καὶ νύμφαι Χριστοῦ, βοῶσαι· Χαῖρε, ἡ μεταστᾶσα, πρὸς τὰ ἄνω βασίλεια.

Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου· Ἐκ νεότητός μου.
*Προκείμενον.* Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.
*Στίχος.* Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.
*Εὐαγγέλιον·* τὸ ἐν τῷ Ὄρθρῳ τοῦ Ἁγ. Γεωργίου.
*Ὁ Ν΄ Ψαλμός.* Ἐλέησόν με ὁ Θεός.
*Δόξα.* Ταῖς τοῦ Ἀθλοφόρου.
*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου.

*Ἰδιόμελον. Ἦχος πλ. β΄.*

*Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...*

Ἐμφανῶς συντρίψας τὸν ἐχθρόν, ἀθλητικῇ ἐνστάσει, περιφανῶς ἐν οὐρανῷ δεδόξασαι, ἀθλητὰ Φανούριε· διὸ καὶ ἡ γῆ πᾶσα, τὴν σὴν δόξαν γνοῦσα ἣν πάλαι ἠγνόει, τῇ φανερώσει τῆς σεπτῆς εἰκόνος σου, λαμπροφανῶς σε γεραίρει, ἐπιτελοῦσα τὴν ἁγίαν μνήμην σου· ἐν ᾗ δίδου τοῖς πιστοῖς, τὰς σωτηρίους δόσεις, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

**Εἶτα ὁ α' κανὼν τῆς Κοιμήσεως τῆς Θεοτόκου, οὗ ἡ ἀκροστιχίς.**
«Πανηγυριζέτωσαν οἱ θεόφρονες.»
*Ποίημα τοῦ ἁγίου Κοσμᾶ, ἐπισκόπου Μαϊουμᾶ.*

*Ὠιδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.*

Πεποικιλμένη τῇ θείᾳ δόξῃ, ἡ ἱερὰ καὶ εὐκλεὴς Παρθένε μνήμη σου, πάντας συνηγάγετο, πρὸς εὐφροσύνην τοὺς πιστούς, ἐξαρχούσης Μαριάμ, μετὰ χορῶν καὶ τυμπάνων, τῷ σῷ, ᾄδοντας Μονογενεῖ, ἐνδόξως ὅτι δεδόξασται.

Ἀμφεπονεῖτο ἀΰλων τάξις, οὐρανοβάμων ἐν Σιὼν τὸ θεῖον σῶμά σου· ἄφνω δὲ συῤῥεύσασα, τῶν Ἀποστόλων ἡ πληθύς, ἐκ περάτων Θεοτόκε, σοὶ παρέστησαν ἄρδην· μεθ' ὧν ἄχραντε, σοῦ τὴν σεπτήν, Παρθένε μνήμην δοξάζομεν.

Νικητικὰ μὲν βραβεῖα ᾖρω, κατὰ τῆς φύσεως Ἁγνή, Θεὸν κυήσασα· ὅμως μιμουμένη δέ, τὸν ποιητήν σου καὶ Υἱόν, ὑπὲρ φύσιν ὑποκύπτεις, τοῖς τῆς φύσεως νόμοις· διὸ θνήσκουσα, σὺν τῷ Υἱῷ ἐγείρῃ διαιωνίζουσα.

**ὁ πρῶτος τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς·**
*«Φῶς Φανούριος κόσμῳ ἐκλάμπει. Γερασίμου.»*

*Ὠιδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Φωτί με καταύγασον, τῷ τοῦ προσώπου σου Κύριε, Φανούριον θέλοντα, ὑμνῆσαι Δέσποτα, τὸν δοξάσαντα, ἀθλήσεως ἀγῶσι, τὸ μέγα σου ὄνομα, καὶ ὑπερένδοξον.

Ὡς φῶς ἀνατέταλκας, τῇ Ἐκκλησίᾳ Φανούριε, ὁ πάλαι κρυπτόμενος, ὑπὸ τὴν γῆν φθονερῶς, καὶ χαρίτων σου, ταῖς φαειναῖς ἀκτῖσιν, ἡμῶν τὴν διάνοιαν, πυρσεύεις πάντοτε.

Σαρκός σου ἠλόγησας, ἐν ὥρᾳ Μάρτυς νεότητος, καὶ χαίρων ἐστράτευσαι, τῷ Βασιλεῖ τοῦ παντός, οὗ τὴν ἄμαχον, ἰσχὺν διεζωσμένος, καθεῖλες Φανούριε, ἐχθρῶν τὰς φάλαγγας.

*Θεοτοκίον*

Φιλάγαθε Δέσποινα, ἡ τὸν Θεὸν τὸν φιλάνθρωπον, ἀφράστως κυήσασα, εἰς σωτηρίαν ἡμῶν, κατοικτείρησον, τὴν πάσχουσαν ψυχήν μου, καὶ ταύτῃ πρυτάνευσον, θείαν παράκλησιν.

*Κανὼν δεύτερος, οὗ ἡ ἀκροστιχίς:*
***«Τὸ φῶς ἡμῖν, Φανούριε, ἐπίλαμψον Κυρίου. Ἀ(θανάσιος)».***
*Ἦχος α΄. Πεποικιλμένη τῇ θείᾳ δόξῃ.*

Τὴν ἱεράν σου, καὶ θείαν μνήμην, Φανούριε χαρμονικῶς, τελοῦντες σήμερον, ἆθλά σου θαυμάζομεν, δι' ὧν τὸ στέφος τῆς ζωῆς, ἐκ Χριστοῦ ἀπείληφας, Ὧι ἱκετεύων μὴ παύσῃ, ὑπὲρ τῶν χαρμονικῶς, τιμώντων σε παμμακάριστε.

Ὁ λήθης πρόξενος χρόνος Μάρτυς, οὐκ ἠδυνήθη ἐς ἀεὶ καλύψαι μνήμην σου· ὅτε γὰρ ηὐδόκησεν, ἡ θεία πρόνοια ἐκ γῆς, φανερῶσαι θαυμαστῶς, τὴν ἱεράν σου εἰκόνα, χαρὰν ἅπασι τοῖς πιστοῖς, Φανούριε προεξένησε.

Φθορὰν Φανούριε οὐχ ὑπέστη, ὑπὲρ τοὺς νόμους φυσικούς, εἰκὼν ἡ θεία σου, ἣν καταπλουτήσασα, ὡς θησαυρὸν πολυτελῆ, ἡ Ἐκκλησία ἔκτοτε, γεραίρει θεοπρεπῶς, τὴν μνήμην σου τὴν χαρμόσυνον.

*Θεοτοκίον*

Ὡς Θεοῦ Λόγου σκηνὴν ἁγίαν, καὶ πάγχρυσόν σε κιβωτόν, τιμῶμεν Δέσποινα, μητρικὴν πρεσβείαν σου, ἐπιζητοῦντες πρὸς Αὐτόν, καθ' ἑκάστην πταίοντες, ἐν λόγοις Μῆτερ καὶ ἔργοις, ἀλλὰ καὶ τὸν χωρισμὸν Αὐτοῦ, οὐδόλως μὴ ἀνεχόμενοι.

*Καταβασία*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Πεποικιλμένη τῇ θείᾳ δόξῃ, ἡ ἱερὰ καὶ εὐκλεής, Παρθένε μνήμη σου, πάντας συνηγάγετο, πρὸς εὐφροσύνην τοὺς πιστούς, ἐξαρχούσης Μαριάμ, μετὰ χορῶν καὶ τυμπάνων τῷ σῷ, ᾄδοντας Μονογενεῖ, ἐνδόξως ὅτι δεδόξασται.

*Ὠιδὴ γ΄. Ὁ Εἱρμός.*

Ἡ δημιουργική, καὶ συνεκτικὴ τῶν ἁπάντων, Θεοῦ Σοφία καὶ Δύναμις, ἀκλινῆ ἀκράδαντον, τὴν Ἐκκλησίαν στήριξον Χριστέ· μόνος γὰρ εἶ Ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος.

Γυναῖκά σε θνητήν, ἀλλ' ὑπερφυῶς καὶ Μητέρα, Θεοῦ εἰδότες Πανάμωμε, οἱ κλεινοὶ Ἀπόστολοι, πεφρικυίαις ἥπτοντο χερσί, δόξῃ ἀπαστράπτουσαν, ὡς θεοδόχον σκῆνος θεώμενοι.

Ὑπέφθασε χερσί, ταῖς ὑβριστικαῖς τοῦ αὐθάδους, τομὴν ἡ δίκη ἐπάξασα, τοῦ Θεοῦ φυλάξαντος, τὸ σέβας τῇ ἐμψύχῳ κιβωτῷ, δόξῃ τῆς θεότητος, ἐν ᾗ ὁ Λόγος σὰρξ ἐχρημάτισε.

*τοῦ Ἁγίου ὁ πρῶτος. Τοὺς σοὺς ὑμνολόγους.*

Ἀθλήσεως Μάρτυς σου τὰ εἴδη, ἃ ἤνυσας πάλαι καρτερῶς, ἐκ τῆς σεπτῆς εἰκόνος σου, γνωρίσαντες Φανούριε, οἱ εὐσεβεῖς ἀνύμνησαν, τὰ θαυμαστά σου παλαίσματα.

Νεότητος ὥραν παραβλέψας, ὑπῆλθες φρονήματι στεῤῥῷ, τὸ τῶν Μαρτύρων στάδιον, Φανούριε πανθαύμαστε, καὶ λόγχῃ τῆς ἀνδρείας σου, ἐχθρὸν τὸν δόλιον ἔτρωσας.

Ὁ μέγας Κυρίου ἀθλοφόρος, ὁ πάλαι ἀθλήσας ἀνδρικῶς, καὶ χρόνοις ἐν τοῖς ὕστερον, γνωστὸς πᾶσι γενόμενος, Φανούριος ὁ ἔνδοξος, νῦν γεραιρέσθω τοῖς ᾄσμασι.

*Θεοτοκίον*

Ὑψίστου καθέδρα λαμπροτάτη, Παρθένε Ἀγγέλων χαρμονή, ἀπὸ κοπρίας ὕψωσον, παθῶν μου τὴν διάνοιαν, καὶ ταύτην καταλάμπρυνον, φωτὶ τῆς σῆς ἀγαθότητος.

*Ὁ δεύτερος. Ἡ δημιουργικὴ καὶ συνεκτική.*

Στρατιωτικὴν καὶ ἀθλητικὴν σωφροσύνην, ἐπιδειξάμενος Ἅγιε, τῶν εἰδώλων ἤλεγξας, πλάνην ὡς ἄχρηστον σοφῶς, καὶ ψυχὰς εἰς θάνατον, παραδιδοῦσαν τὸν αἰώνιον.

Ἡ ἐνισχυτικὴ καὶ φωτιστικὴ θεία Χάρις, πλουσιοδώρως ἐνήργησεν, ἐπὶ σοὶ Φανούριε, καὶ ἔδειξέ σε θαυμαστόν, θεολόγον σάρκωσιν, τοῦ Θεοῦ Λόγου ἀνακηρύξαντα.

Μιμητικὴν καὶ συμμορφωτικὴν τῷ Δεσπότῃ, ἀναλαβόμενος αἴσθησιν, τὸν σταυρὸν ἠγάπησας, καταβαλὼν ἀθλητικῶς τὸν ἐχθρόν,·Κύριε βοήθει μοι, ἀναφωνῶν κλεινὲ Φανούριε.

*Θεοτοκίον*

Ἱεροπρεπῶς καὶ ἀγγελοτρόπως Παρθένε, σὲ οἱ πιστοὶ μεγαλύνομεν· διὰ σοῦ γὰρ εὕρομεν, τὴν σωτηρίαν οἱ ἁμαρτωλοί, ὅτι τὸν Φιλάνθρωπον, Λόγον Θεοῦ Ἁγνὴ ἀπεκύησας.

*Καταβασία*

Ἡ δημιουργική, καὶ συνεκτικὴ τῶν ἁπάντων, Θεοῦ Σοφία καὶ Δύναμις, ἀκλινῆ ἀκράδαντον, τὴν Ἐκκλησίαν στήριξον Χριστέ· μόνος γὰρ εἶ Ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος.

*Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Μαρτυρίου τελέσας καλῶς τὸ στάδιον, καὶ Χριστὸν μεγαλύνας οἰκείοις μέλεσιν, οὐρανίων δωρεῶν λαμπρῶς τετύχηκας, καὶ παρέχεις τοῖς πιστοῖς, ὡς μεσίτης πρὸς Θεόν, βοήθειαν καθ᾽ ἑκάστην, Φανούριε ἀθλοφόρε, τοῖς καταφεύγουσι τῇ σκέπῃ σου.

*Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος πλ.δ΄.Τὴν Σοφίαν καὶ Λόγον.*

Ἡ Θεὸν συλλαβοῦσα ἄνευ σπορᾶς, σαρκωθέντα τεκοῦσα δίχα φθορᾶς, τὴν νέαν ἀμφιέννυσαι, ἀφθαρσίαν τοῦ Πνεύματος· ὡς γὰρ ζωῆς σὺ Μήτηρ, καὶ πάντων Βασίλισσα, πρὸς τὴν ζωὴν μετέστης, Παρθένε τὴν ἄϋλον· ὅθεν ἐπαξίως, ἀληθῶς ἀνεδείχθης, νεφέλη πηγάζουσα, τῆς ζωῆς ἡμῶν νάματα, Θεομῆτορ πανάμωμε· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὴν θείαν σου Κοίμησιν.

Ὠιδὴ δ΄. Ὁ Εἱρμός.

Ῥήσεις Προφητῶν καὶ αἰνίγματα, τὴν σάρκωσιν ὑπέφηναν, τὴν ἐκ Παρθένου σοῦ Χριστέ, φέγγος ἀστραπῆς σου, εἰς φῶς ἐθνῶν ἐξελεύσεσθαι· καὶ φωνεῖ σοι ἄβυσσος, ἐν ἀγαλλιάσει, τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Ἴδετε λαοὶ καὶ θαυμάσατε· τὸ ὄρος γὰρ τὸ ἅγιον, καὶ ἐμφανέστατον Θεοῦ, τῶν ἐπουρανίων βουνῶν, ἐφ' ὕπερθεν αἴρεται, οὐρανὸς ἐπίγειος, ἐν ἐπουρανίῳ, καὶ ἀφθάρτῳ χθονὶ οἰκιζόμενος.

Ζωῆς ἀϊδίου καὶ κρείττονος, ὁ θάνατός σου γέγονε, διαβατήριον Ἁγνή, ἐκ τῆς ἐπικήρου πρὸς θείαν ὄντως καὶ ἀῤῥευστον, μεθιστῶν σε ἄχραντε, ἐν ἀγαλλιάσει, τὸν Υἱὸν καθορᾶν σου καὶ Κύριον.

Ἐπήρθησαν πύλαι οὐράνιαι, καὶ Ἄγγελοι ἀνύμνησαν, καὶ ὑπεδέξατο Χριστός, τὸ τῆς παρθενίας αὐτοῦ, μητρῷον κειμήλιον. Χερουβὶμ ὑπεῖξέ σοι, ἐν ἀγαλλιάσει· Σεραφὶμ δὲ δοξάζει σε χαίροντα.

*τοῦ Ἁγίου ὁ πρῶτος. Ὁ καθήμενος ἐν δόξῃ.*

Ῥόδος χαίρει τῇ εὑρέσει, τοῦ ναοῦ σου Φανούριε, καὶ καθάπερ ῥόδον, εὔπνουν ἀφθαρσίας προβάλλεται, τῇ Ἐκκλησίᾳ σε πάσῃ τὴν οὐράνιον, πνέον ἅπασιν, ὀσμὴν ζωῆς τὴν σωτήριον.

Ἰησοῦν τὸν ζωοδότην, καὶ Θεὸν πάσης κτίσεως, στόματι ἁγίῳ, πρὸ τῶν δυσσεβῶν ὡμολόγησας, καὶ τὴν δυσσέβειαν τούτων ἐστηλίτευσας, παῤῥησίᾳ σου, ἀκαταπλήκτῳ Φανούριε.

Ὅλην ἔχων τὴν ψυχήν σου, ἡδρασμένην στεῤῥότατα, ἐπὶ πέτραν Μάρτυς, τῆς ἀληθινῆς ἐπιγνώσεως, τὰς ἐκ πετρῶν ἀνενδότως πληγὰς ἔφερες, καὶ ἐδόξαζες, ζωῆς τὴν πέτραν τὸν Κύριον.

Σώματος μαστιζομένου, ἀπηνῶς οὐκ ἐφρόντισας, καὶ τῆς σῆς ἀνδρείας, Μάρτυς ῥαπισμοῖς ἐμαστίγωσας, τῶν διωκτῶν τὴν καρδίαν μὴ φερόντων σου, τὸ ἀήττητον, τῆς σῆς καρδίας παράστημα.

*Θεοτοκίον*

Καταφύγιον τοῦ κόσμου, ἀσφαλὲς καί σωτήριον, ὤφθης Θεοτόκε, σῴζουσα βελῶν τοῦ ἀλάστορος, τοὺς τῇ ἁγίᾳ σου σκέπῃ καταφεύγοντας· ὅθεν σῶσόν με, ἤδη τῆς τούτου κακώσεως.

*ὁ δεύτερος. Ῥήσεις προφητῶν.*

Νύκτα τῶν εἰδώλων ἠφάνισας, Φανούριε τοῖς ἄθλοις σου, ὥσπερ λαμπὰς γὰρ τοῦ Χριστοῦ, τὴν οἰκονομίαν, διὰ σταυροῦ ὡμολόγησας, καὶ τὴν σκοτεινόμορφον, πλάνην ἀπελέγξας, χορῷ Μαρτύρων συνηρίθμησαι.

Φρίττει πᾶς τις βλέπων μαρτύρια, Φανούριε μακάριε, ἅπερ ὑπέστης ἀνδρικῶς, καὶ τῇ σῇ εἰκόνι, καταλεπτῶς ἐζωγράφηνται, τοῦ Χριστοῦ τὴν δύναμιν, φανεροῦντα μάρτυς, δι᾽ ἧς αὐτὰ καθυπέμεινας.

Ἄνωθέν σε Κύριος, ὁρῶν, Φανούριε ἱστάμενον, πρὸ τοῦ τυράννου τὴν ἰσχύν, ἣν προϋπεσχέθη, τοῦ Παρακλήτου κατέπεμψε, σὲ σφοδρῶς ἐσόφισε, ῥήτορά σε δείξας, καὶ θεολόγον πνευματέμφορον.

*Θεοτοκίον*

Νοῦν ἡμῶν ναὸν δεσποτικόν, ἀνάδειξον Πανάχραντε, ἐν ᾧ ἡ μνήμη τοῦ Χριστοῦ, ἀεὶ τηρηθήσεται, καὶ τῆς ζωῆς διαβήματα, πάντα εὐθυνθήσονται, ὁμαλῶς εἰς τρίβον, κατὰ τὸ θεῖον Αὐτοῦ θέλημα.

*Καταβασία*

Ῥήσεις Προφητῶν καὶ αἰνίγματα, τὴν σάρκωσιν ὑπέφηναν, τὴν ἐκ Παρθένου σοῦ Χριστέ, φέγγος ἀστραπῆς σου, εἰς φῶς ἐθνῶν ἐξελεύσεσθαι· καὶ φωνεῖ σοι ἄβυσσος, ἐν ἀγαλλιάσει, τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

*Ὠιδὴ ε΄. Ὁ Εἱρμός.*

Τὸ θεῖον καὶ ἄῤῥητον κάλλος, τῶν ἀρετῶν σου Χριστὲ διηγήσομαι· ἐξ ἀϊδίου γὰρ δόξης συναΐδιον, καὶ ἐνυπόστατον λάμψας ἀπαύγασμα, Παρθενικῆς ἀπὸ γαστρός, τοῖς ἐν σκότει καὶ σκιᾷ, σωματωθεὶς ἀνέτειλας ἥλιος.

Ὡς ἐπὶ νεφέλης Παρθένε, τῶν Ἀποστόλων ὁ δῆμος ὀχούμενος, πρὸς τὴν Σιὼν ἐκ περάτων λειτουργῆσαί σοι, τῇ νεφέλῃ τῇ κούφῃ ἠθροίζετο, ἀφ᾿ ἧς ὁ Ὕψιστος Θεός, τοῖς ἐν σκότει καὶ σκιᾷ, δικαιοσύνης ἔλαμψεν ἥλιος.

Σαλπίγγων θεόληπτοι γλῶσσαι, τῶν θεολόγων ἀνδρῶν εὐηχέστερον, τῇ Θεοτόκῳ ἐβόων τὸν ἐξόδιον, ἐνηχούμεναι ὕμνον τῷ Πνεύματι· Χαίροις ἀκήρατε πηγή, τῆς τοῦ Θεοῦ ζωαρχικῆς, καὶ σωτηρίου πάντων σαρκώσεως.

*Τοῦ Ἁγίου ὁ πρῶτος. Ἐξέστη τὰ σύμπαντα.*

Ὁ μάρτυς Φανούριος, ἀγάπῃ τιτρωσκόμενος, τῇ πρὸς τὸν Σωτῆρα τῶν ἁπάντων, φέρει γενναίως τοὺς σκληροτάτους ξεσμούς, δι᾿ ὧν ἀποβάλλει τὴν φθοράν, καὶ στολὴν ἐνδύεται, ἀφθαρσίας ὑπέρλαμπρον.

Σθενούμενος Ἅγιε, ἰσχύϊ τῇ τῆς πίστεως, ἤνεγκας πυρὸς τὴν τιμωρίαν, ἄνωθεν δρόσον θείαν δεχόμενος, καὶ πυρὶ ἀθλήσεως τῆς σῆς, ἔφλεξας Φανούριε, τὴν ἀπάτην τὴν εὔπρηστον.

Μεγάλως ἠγώνισαι, καιρῷ τῷ τῆς ἀθλήσεως, καὶ μεγάλης χάριτος μετέσχες, μεγαλομάρτυς Χριστοῦ Φανούριε· ὅθεν ἐκ μεγάλων συμφορῶν, ῥύῃ τοὺς προστρέχοντας, τῇ μεγίστῃ πρεσβείᾳ σου.

*Θεοτοκίον.*

Ὡς σάρκα ὁ Κύριος, ἐκ σοῦ δι᾽ ἀγαθότητα, Κόρη προσλαβόμενος ἀτρέπτως, σὲ προστασίαν ἁπάντων ἔδειξεν· ὅθεν μὴ ἐλλείπῃς ἀγαθή, προστατεύειν πάντοτε, τῶν πιστῶς δεομένων σου.

*ὁ δεύτερος. Τὸ θεῖον καὶ ἄῤῥητον.*

Ὁρῶντα τὸ ἄῤῥητον κάλλος, τοῦ Ἰησοῦ μυστικῶς ὦ Φανούριε, ὥσπερ σε λέοντα γενναῖον παρέστησαν, πρὸ τοῦ τυράννου στρατιῶται παράνομοι, ὁμολογήσαντα τρανῶς, τὴν θεότητα Αὐτοῦ, καὶ τὴν ἐκ Κόρης Ἁγνῆς ἐνανθρώπησιν.

Ὑπέμεινας ὡς ὁ Στέφανος πάλαι, τὸν λιθασμὸν χριστοφόρε Φανούριε, ὡς βασιλείας σε μέτοχον δείξοντα, καὶ αἰωνίου ζωῆς ἀπολαύσοντα, ἅπερ παρέχει Ἰησοῦς, τοῖς μαρτύρια δεινά, ὑπὲρ Αὐτοῦ ἀνδρείως βαστάσασι.

Ῥαβδίσμασιν ᾤοντό σε κάμψαι, οἱ δήμιοί σου Φανούριε ἔνδοξε, ἀλλὰ τὴν γνώμην αὐτῶν σὺ ἀνέτρεψας, ἐν τῇ δυνάμει Χριστοῦ δι᾽ Ὃν ἔπασχες, καὶ κατεγέλας ἀνδρικῶς, ὡς ἐμμένοντας σκληρῶς, ἀνοήτοις τῆς πλάνης φαντάσμασι.

*Θεοτοκίον*

Ἰάτρευσας ἀνθρωπότητα Κόρη, ὡς Ἰατρὸν Ἰησοῦν βρεφουργήσασα, τὸν φιλανθρώπως σταυρὸν ὑπομείναντα, καὶ τὸν

ἀρχαῖον ἐχθρὸν συμποδίσαντα, τὴν Ἐκκλησίαν δὲ Αὐτοῦ, ἰατρεῖον τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῖν χαρισάμενον.

*Καταβασία*

Τὸ θεῖον καὶ ἄῤῥητον κάλλος, τῶν ἀρετῶν σου Χριστὲ διηγήσομαι· ἐξ ἀϊδίου γὰρ δόξης συναΐδιον, καὶ ἐνυπόστατον λάμψας ἀπαύγασμα, Παρθενικῆς ἀπὸ γαστρός, τοῖς ἐν σκότει καὶ σκιᾷ, σωματωθεὶς ἀνέτειλας ἥλιος.

*Ὠιδὴ ς΄. Ὁ Εἱρμός.*

Ἄλιον ποντογενές, κητῷον ἐντόσθιον πῦρ, τῆς τριημέρου ταφῆς σου, ἦν προεικόνισμα, οὗ Ἰωνᾶς ὑποφήτης ἀναδέδεικται· σεσωσμένος γὰρ ὡς καὶ προὐπέπωτο, ἀσινὴς ἐβόα· Θύσω σοι μετὰ φωνῆς αἰνέσεως Κύριε.

Νέμει σοι τὰ ὑπὲρ φύσιν, Ἄναξ ὁ πάντων Θεός· ἐν γὰρ τῷ τίκτειν, Παρθένον ὥσπερ ἐφύλαξεν, οὕτως ἐν τάφῳ τὸ σῶμα διετήρησεν, ἀδιάφθορον, καὶ συνεδόξασε, θείᾳ μεταστάσει, γέρα σοι ὥσπερ Υἱὸς Μητρὶ χαριζόμενος.

Ὄντως σὲ ὡς φαεινὴν λυχνίαν, ἀΰλου πυρός, θυμιατήριον θείου χρύσεον ἄνθρακος, ἐν τοῖς Ἁγίων Ἁγίοις κατεσκήνωσε, στάμνον ῥάβδον τε πλάκα θεόγραφον, κιβωτὸν ἁγίαν, τράπεζαν ἄρτου ζωῆς, Παρθένε ὁ τόκος σου.

*Τοῦ Ἁγίου ὁ πρῶτος. Τὴν θείαν ταύτην.*

Ἐκ γῆς λαγόνων ἀνέτειλεν, εἰκών σου ἡ ἁγία Φανούριε, ὡς λύχνος πάμφωτος, ἡ ἀφανὴς οὖσα πρότερον, καὶ ἐμφανῆ παντί σε, κόσμῳ κατέστησε.

Κήρυκες ὤφθησαν Ἅγιε, τῆς σῆς πρὸς τὸν Θεὸν οἰκειώσεως, οἱ πρῴην δέσμιοι, τρεῖς ἱερεῖς οὓς ἀπήλλαξας, πικρᾶς αἰχμαλωσίας, τῇ ἀντιλήψει σου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Λεόντων μύλας συνέθλασας, σοφὲ τῶν νοητῶν τοῖς ἀγῶσί σου, καὶ θείῳ Πνεύματι, θηρῶν ἀγρίων ἐφίμωσας, ὡς Δανιὴλ τὸ πάλαι, στόματα Ἅγιε.

*Θεοτοκίον*

Ἀδιαφθόρως ἐκύησας, τὸν πάντων Ποιητὴν ὑπὲρ ἔννοιαν, Κόρη πανάμωμε· διὸ φθορᾶς παθῶν ῥῦσαί με, πρὸς ἀπαθείας βίον, καθοδηγοῦσά με.

*ὁ δεύτερος. Ἅλιον ποντογενές.*

Ἔνδοθεν πυρποληθεὶς, ἀγάπῃ Φανούριε Χριστοῦ, οὐκ ἐπῃσθάνου διόλου, σφοδρὰν μαστίγωσιν, ἀλλ' ὥσπερ ἄλλου ὄντος τοῦ πάσχοντος, ἀκλινὴς ὡς ἀδάμας ἱστάμενος, ἐκ ψυχῆς ἐβόας· πρόσδεξαι ὁλοτελῆ, θυσίαν με Κύριε.

Ἔῤῥηξαν ὑβριστικῶς, χιτῶνα σὲ καλύπτοντα, ἐν ἀνημέρῳ κακίᾳ, βασάνων οἱ πρόξενοι, καὶ γυμνωθέντα ἡγεμόνι παρέστησαν, κολακείαις νομίζοντι πεῖσαί σε, τῷ Χριστῷ βοῶντα· χάριν σου στηρικτικήν, παράσχου μοι Κύριε.

Πήλινον τῇ φύσει ὄν, τὸ σῶμά σου ὥσπερ σιδηροῦν, καταξεόμενον ὄνυξιν Μάρτυς ἐναπέδειξας, ἀλλὰ οἱ τύραννοι βλέποντες οὐκ ἤθελον συνιέναι, τῇ ἀπιστίᾳ γὰρ ὅλως κατεχόμενοι, ἀσεβῶς ἐβόων· θύσομέν σε προσφοράν, εἰδώλοις Φανούριε.

*Θεοτοκίον*

Ἴδιον εὐεργετεῖν, ὑπάρχει ἀγάπης τῆς σῆς, Ὑπεραγία Παρθένε τὴν ἀνθρωπότητα, ἐξ οὗ Θεὸν ἐν κοιλίᾳ σου ἐβάστασας, καὶ Αὐτὸν ὡς ἄνθρωπον ἐγέννησας, μηδαμῶς φθαρεῖσα· ὅθεν σε μετὰ φωνῆς, εὐγνώμονός σε μέλπομεν.

*Καταβασία*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἄλιον ποντογενές, κητῷον ἐντόσθιον πῦρ, τῆς τριημέρου ταφῆς σου, ἦν προεικόνισμα, οὗ Ἰωνᾶς ὑποφήτης ἀναδέδεικται· σεσωσμένος γὰρ ὡς καὶ προὐπέπωτο, ἀσινὴς ἐβόα· Θύσω σοι μετὰ φωνῆς αἰνέσεως Κύριε.

*Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.*

Ἱερεῖς διέσωσας, αἰχμαλωσίας ἀθέου, καὶ δεσμὰ συνέθλασας, δυνάμει θείᾳ θεόφρον· ᾔσχυνας, τυράννων θράση γενναιοφρόνως· ηὔφρανας, Ἀγγέλων τάξεις Μεγαλομάρτυς· διὰ τοῦτό σε τιμῶμεν, θεῖε ὁπλῖτα Φανούριε ἔνδοξε.

***Ὁ Οἶκος***

Ἤθλησας Μάρτυς ἀνδρικῶς, ἐν ἔτεσιν ἀδήλοις, καὶ ὑπερεῖδες νουνεχῶς, νεότητος τὸ ἄνθος, ὑπὲρ ἀγάπης τοῦ Χριστοῦ, πλείστας βασάνους ὑποστάς, καὶ θάνατον γενναίως· ἀλλ᾽ οἷς οἶδε κρίμασι Θεός, λήθης βυθοῖς, τὰ τῆς ἀθλήσεως τῆς σῆς, ἐκρύπτοντο τρόπαια· ἐν δὲ τῇ Ῥόδῳ τῇ περιφήμῳ νήσῳ, ὁ ὑπὸ γῆν κεχωσμένος φανερωθεὶς ναός σου, ἐν ᾧ ἡ πάντιμος ὡς θησαυρὸς εἰκών σου, ἡ σὴ λαμπρὰ ἐγνώρισται ἄθλησις, καὶ πᾶσα ἡ Ἐκκλησία γνῶσιν ἔσχε τῶν ἀθλητικῶν σου ἀγώνων, καὶ τῆς πρὸς Χριστὸν λαμπρᾶς σου παῤῥησίας· ὅτι πᾶσιν ἐφαπλοῖς, τὴν θαυμαστήν σου προστασίαν, καὶ πολυειδῶν ἐξαίρεις κινδύνων καὶ θλίψεων, καὶ αἰχμαλώτους λυτροῦσαι, θεῖε ὁπλῖτα Φανούριε ἔνδοξε.

***Συναξάριον***

**Τῇ ΚΖ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ἁγίου ἐνδόξου καὶ καλλινίκου μάρτυρος Φανουρίου τοῦ νεοφανοῦς.**

Στίχ. *Φανούριος φῶς πᾶσι πιστοῖς παρέχει*
*Κἂν εἰς σκότος δ᾽ ἔκειτο τῆς γαίης μέγα.*
*Εἰκάδι ἑβδομάτῃ Φανουρίου σηκὸς γῆθεν φάνθη.*

## *Ὑπόμνημα*

Ὁ περίδοξος οὗτος ἀθλητὴς πόθεν κατήγετο καὶ τίς ἡ τοῦτον ἐνεγκαμένη καὶ ἐν ποίῳ χρόνῳ τοὺς τοῦ μαρτυρίου διήθλησεν ἄθλους, οὐδὲν ἔχομεν εἰπεῖν, παραῤῥυέντων πάντων τῇ τοῦ χρόνου φορᾷ καὶ καλυφθέντων τῷ τῆς λήθης τάφῳ καὶ ἀφανῶν καὶ ἀγνώστων πᾶσι τὰ κατ᾽ αὐτὸν μεινάντων.

Ἔνθεν τοιάδε δῆλα περὶ αὐτοῦ γέγονε. Τῷ δεκάτῳ τετάρτῳ αἰῶνι, τῆς περιφήμου νήσου Ῥόδου ὑπὸ τῶν τῆς Ἄγαρ ἀπογόνων τελούσης ζυγόν, ἠβουλήθη ὁ τότε ἄρχων ἀνακτίσαι καὶ εἰς τὸ ἀρχαῖον ἐπανορθώσασθαι τὰ τῆς χώρας ἠδαφισμένα τείχη, ἃ πάλαι ἔχθιστοι πολέμιοι καθεῖλον. Συναγομένης πρὸς τοῦτο τῆς ἀναγκαίας ὕλης, καὶ ἀνασκαπτόντων πρὸς τὸ νότιον μέρος τὰς ἐκεῖ ἠρειπωμένας οἰκίας, εὕρηται ἐκεῖσε ναὸς ἱερός, ὢν κατὰ τὸ ἥμισυ ἐν ἐρειπίοις. Ἔτι περαιτέρω προβάντες καὶ τὴν τῷ χρόνῳ συμφορηθεῖσαν ὕλην ἀνασκάψαντες μέχρις αὐτοῦ τοῦ δαπέδου, πλείστας ἀνεῦρον ἁγίας εἰκόνας, ἐν φθορᾷ καὶ ἀφανισμῷ τελούσας, ἐξ ὧν μία τις ἐσῴζετο ἄσηπτος, ὡσανεὶ χθιζὰ τῶν τοῦ ζωγράφου ἐξελθοῦσα χειρῶν. Ἐπὶ τῷ γεγονότι τούτῳ, τῶν κατὰ θείαν εὐδοκίαν προδήλως, παραγενόμενος ὁ τότε τῆς νήσου ποιμενάρχης, ἀρχιερεὺς ἐπ᾽ ἀρετῇ καὶ σοφίᾳ σεμνυνόμενος, ᾧ ἡ κλῆσις Νεῖλος ὁ Διασπωρηνός, ἀνέγνω ἐπ᾽ αὐτῆς γεγραμμένα τάδε· ὁ ἅγιος Φανούριος.

Ἐν αὐτῇ ἱστορεῖτο ὁ Ἅγιος ἐν νεανικῇ ἡλικίᾳ, στρατιωτικὴν ἐνδεδυμένος στολήν, κρατῶν εἰς τὴν δεξιὰν σταυρὸν μετὰ λαμπάδος ἀνημμένης, ἀμφὶ δὲ τῆς εἰκόνος, περὶ τὰ ἄκρα, ἐθεῶντο ἱστορημένα δώδεκα ἐκ τῶν τοῦ εἰκονιζομένου ἁγίου ἀθλημάτων, ταῦτα· ἵστατο ὁ Μάρτυς πρὸ τοῦ δικαστοῦ κρινόμενος, ἐν μέσῳ πολλῶν στρατιωτῶν, οἳ διὰ πετρῶν ἔπληττον αὐτοῦ τὸ στόμα καὶ τὴν κεφαλήν· ἥπλωται τῷ τῆς γῆς ἐδάφει, μαστιζόμενος ὑπὸ στρατιωτῶν· φέρεται καθήμενος γυμνὸς καὶ σιδηροῖς ὄνυξι ξεόμενος τὰς σάρκας· ὢν κεκλεισμένος ἐν φυλακῇ· καὶ αὖθις ἵσταται ἐταζόμενος ἐπὶ βήματος τυραννικοῦ· κατακαίεται ὑπὸ λαμπάδων ἀνημμένων· φέρεται προσδεδεμένος ἐπὶ μαγγάνου· ἵσταται ἐν μέσῳ θηρίων ἀβλαβής· κεῖται ἐπὶ γῆς, φέρων ἐπὶ τοῦ σώματος μέγαν λίθον· ἵσταται ἔμπροσθεν εἰδώλων, κρατῶν ταῖς χερσὶν ἄνθρακας ἀνημμένους, καί τις τῷ ἀέρι σατάν, οἴχεται θρηνῶν

www.tezaurliturgic.ro


καὶ κλαίων· ὁρᾶται ἱστάμενος ἐν μέσῳ φλογιζούσης καμίνου, αἴρων πρὸς οὐρανὸν τὰς χεῖρας.

Αὗται αἱ τῶν μαρτυρικῶν ἀγώνων γραφαὶ καὶ ἐμφάνειαι, αἱ ἐπὶ τῆς εὑρεθείσης εἰκόνος ὁρώμεναι, ἐξ ὧν ὁ ῥηθεὶς ἀρχιερεὺς Νεῖλος ἐπληροφορεῖτο, ὅτι ὁ εἰκονιζόμενος καὶ οὕτως ἀποκαλυφθεὶς ἅγιος, ἦν μάρτυς, ἐν ἀδήλῳ χρόνῳ καὶ τόπῳ τὸν μαρτυρικὸν τελέσας ἆθλον, Φανούριος τὴν κλῆσιν, καὶ διὰ πρώτην ἤδη φορὰν ἐμφανὴς καὶ γνωστὸς καθιστάμενος· μὴ ἐπινεύσαντος δὲ τοῦ τῆς νήσου ἡγεμόνος τὸ πρῶτον πρὸς ἀνάκτισιν τοῦ ῥηθέντος ναοῦ, ἐπέπνευσε τὸ δεύτερον, καὶ οὕτως ὁ καλὸς ποιμὴν καὶ ἀρχιερεὺς τοῦ Θεοῦ, ἀνέκτισεν ἀνοικοδμήσας τοῦτον, ὡς ὁρᾶται ἄχρι τῆς δεῦρο, ἐν τῇ ῥηθείσῃ τοποθεσίᾳ, ἔξω τῆς πόλεως, ἔνθα ἐπισκιάσασα ἡ χάρις τοῦ Μεγαλομάρτυρος ἁγίου, πλεῖστα θαύματα καὶ πολλαὶ εὐεργετικαὶ δυνάμεις τελοῦνται πρὸς σωτηρίαν τῶν πιστῶν, ἐξ ὧν παρατίθημι τὸ ἑξῆς, ἐμφαῖνον τὴν μεγάλην πρὸς Θεὸν οἰκείωσιν καὶ παῤῥησίαν τοῦ ἁγίου Φανουρίου.

Κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἡ μεγαλόνησος Κρήτη τελοῦσα ὑπὸ τὴν ἐξουσίαν τῶν Βενετῶν, ἠπόρει Ὀρθοδόξου ἀρχιερέως, καταληφθείσης τῆς θέσεως αὐτοῦ ὑπὸ Λατίνου. Ὅσοι δὲ ἐκρίνοντο ἄξιοι λαβεῖν τὸ μέγα τῆς ἱερωσύνης ἀξίωμα ἐστέλλοντο εἰς Κύθηρα (νῆσος αὕτη μικρά, βορείως τῆς Κρήτης), χειροτονηθησόμενοι ὑπὸ τοῦ ἐκεῖσε Ὀρθοδόξου ἀρχιερέως. Τῷ τότε καιρῷ τρεῖς διάκονοι ἀποπλεύσαντες τῆς Κρήτης, καὶ τελεσθέντες ἐν Κυθήροις τῷ νοητῷ τῆς ἱερωσύνης χρίσματι, ὑποστρέφοντες δὲ οἴκαδε, προσέπεσον ἐν πλῷ χερσὶν Ἀγαρηνῶν, οἵτινες αἰχμαλωτεύσαντες αὐτοὺς ἀπήγαγον εἰς Ῥόδον, καὶ ἐπώλησαν τοῖς ἐκεῖσε Ἀγαρηνοῖς, θρηνοῦντας ἡμέρας καὶ νυκτὸς ἣν πεπόνθασι ἀδόκητον συμφοράν. Ἐν πικρᾷ οὖν αἰχμαλωσίᾳ διάγοντες καὶ ἀκούσαντες τὰ τῶν θαυμάτων Φανουρίου τοῦ μεγαλομάρτυρος ἔργα, προσέπεσον ἐν θερμοῖς δάκρυσι καὶ συντόνοις λιταῖς καὶ δεήσεσι δεόμενοι αὐτοῦ, ὡς ἂν τῆς ποθητῆς τύχωσιν ἐλευθερίας, μὴ ἐπιστάμενοι ὁ εἷς τὸ ἔργον τοῦ ἑτέρου, κεχωρισμένως ἀνύοντες τὰς τῆς ὀδύνης καὶ δουλείας ἡμέρας.

Τότε δὴ τότε ὁ ταχὺς εἰς ἀντίληψιν καὶ ὀξὺς εἰς βοήθειαν μέγας Φανούριος, ἐπιστὰς κατ᾽ ὄναρ τοῖς Ἀγαρηνοῖς αὐθένταις αὐτῶν, ἐπέταττεν αὐτοῖς ἐπιτρέψαι τοῖς αἰχμαλώτοις ἀπελθεῖν καὶ προσκυνῆσαι ἐν τῷ ναῷ αὐτοῦ· ἀλλ᾽ οὗτοι μαγείαν τοῦτο λογισάμενοι,

δεινοτέραις ἁλύσεσι καὶ βασάνοις ὑπέβαλον αὐτούς. Τί δὲ ὁ θαυμαστὸς Φανούριος; ἐπιστὰς τῇ νυκτὶ ἠλευθέρωσε τῶν δεσμῶν, θάρσος ἐνθεὶς αὐτοῖς καὶ προλέγων τὴν ἐπὶ τὴν αὔριον ἀπαλλαγὴν τῆς δουλείας· εἶτα δὲ ὁραθεὶς τοῖς Ἀγαρηνοῖς, ἐν ἐλέγχῳ καὶ αὐστηρῷ ὕφει εἶπεν· «Εἰ καὶ τῇ ἐπαύριον ἔσεσθε ἐπιμένοντες τῇ γνώμῃ ὑμῶν, ὄψεσθε τὴν δύναμιν τοῦ Θεοῦ». Καί, ὢ τοῦ θαύματος! τῇ ἐπιούσῃ οἱ ἐν τοῖς οἴκοις τῶν Ἀγαρηνῶν τούτων ἠτάσθησαν τυφλώσει καὶ παρέσει μελῶν, δριμυτάτοις πόνοις βαλλόμενοι· καὶ ἐπὶ κλίνης ὀδύνης κείμενοι μετεστείλαντο τοὺς αἰχμαλώτους ἱερεῖς, ἐρωτῶντες τὰ περὶ τῆς ἰάσεως καὶ σωτηρίας αὐτῶν, οἵτινες καὶ δέησιν προσήγαγον περὶ τούτων τῷ ἐλεήμονι Θεῷ. Ἀλλ᾽ ὁ ἅγιος καὶ τρίτον φανεὶς τοῖς Ἀγαρηνοῖς ἐπέσκηπτεν αὐτοῖς· «Τὸ τάχος στείλατε τῷ ἐμῷ οἴκῳ ἐν γραφῇ τὴν τῶν αἰχμαλώτων ἐλευθερίαν, ἵνα τὴν προτέραν ὑμῶν ἀνακτήσησθε ὑγείαν». Τῇ ἐπαύριον συμβούλιον λαβόντες, ὑπεῖξαν τῇ τοῦ ἁγίου ἐπισκήψει, ἀποστείλαντες ἰδίᾳ ἕκαστος οὗ κατεῖχεν εἰς δουλείαν, τὸ τῆς τούτου ἀναῤῥύσεως ἀπαιτηθὲν ἔγγραφον εἰς τὸν τοῦ Ἁγίου οἶκον, καὶ ἐν φόβῳ πολλῷ κατέθεντο ταῦτα πρὸ τῆς σεπτῆς αὐτοῦ εἰκόνος· πάραυτα δὲ ἔτυχον τῆς ἰάσεως, ἀπαλλαγέντες τῶν ἐπελθουσῶν αὐτοῖς μαστίγων, καὶ ἐν ἐκπλήξει καὶ θαύματι, ἠλευθέρωσαν τοὺς αἰχμαλώτους ἱερεῖς, οὓς καὶ οἰκείαις δαπάναις τῇ ἐνεγκαμένῃ αὐτῶν Κρήτῃ ἀπέστειλαν, φέροντας ἐκεῖ ὡς πλοῦτον οὐράνιον καὶ θησαυρὸν ἀνέκλειπτον ἄρτι ἱστορηθεῖσαν εἰκόνα τοῦ ἁγίου, ὅντινα ἐτησίαις ἑορταῖς καὶ πνευματικαῖς πανηγύρεσιν ἐτίμων καὶ ἐγέραιρον, διηγούμενοι μεγαλοφώνως ὅσα εἶδον καὶ εὖ ἔπαθον παρὰ τῆς ταχυτάτης πρεσβείας καὶ σωστικῆς χάριτος τοῦ θαυματουργοῦ ἁγίου μάρτυρος Φανουρίου.

*καὶ τὰ ἐπίλοιπα τοῦ Συναξαριστοῦ*

**Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

*ᾨδὴ ζ΄. Ὁ Εἱρμός.*

Ἰταμῷ θυμῷ τε καὶ πυρί, θεῖος ἔρως ἀντιταττόμενος, τὸ μὲν πῦρ ἐδρόσιζε· τῷ θυμῷ δὲ ἐγέλα, θεοπνεύστῳ λογικῇ, τῇ τῶν ὁσίων

τριφθόγγῳ λύρα ἀντιφθεγγόμενος, μουσικοῖς ὀργάνοις ἐν μέσῳ φλογός, ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτεύκτους πλάκας Μωϋσῆς, γεγραμμένας τῷ θείῳ Πνεύματι, ἐν θυμῷ συνέτριψεν· ἀλλ᾽ ὁ τούτου Δεσπότης, τὴν τεκοῦσαν ἀσινῆ, τοῖς οὐρανίοις φυλάξας δόμοις, νῦν εἰσῳκίσατο. Σὺν αὐτῇ σκιρτῶντες βοῶμεν Χριστῷ· ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἐν κυμβάλοις χείλεσιν ἁγνοῖς, μουσικῇ τε καρδίας φόρμιγγι, ἐν εὐήχῳ σάλπιγγι, ὑψηλῆς διανοίας, τῆς Παρθένου καὶ ἁγνῆς, ἐν τῇ εὐσήμῳ κλητῇ ἡμέρᾳ τῆς Μεταστάσεως, πρακτικαῖς κροτοῦντες βοῶμεν χερσίν· Ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὁ θεόφρων ἤθροισται λαός· τῆς γὰρ δόξης Θεοῦ τὸ σκήνωμα, ἐν Σιὼν μεθίσταται πρὸς οὐράνιον δόμον, ἔνθα ἦχος καθαρὸς ἑορταζόντων, φωνὴ ἀφράστου ἀγαλλιάσεως, καὶ ἐν εὐφροσύνῃ βοώντων Χριστῷ· Ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Τοῦ Ἁγίου, ὁ πρῶτος. Οὐκ ἐλάτρευσαν.*

Μέγαν λίθον σοι, ἐπέθηκαν οἱ ἄνομοι, μάρτυς Φανούριε, πειρώμενοι δι᾽ αὐτοῦ, συνθλίψαι τὸ σῶμά σου, ἀλλ᾽ ὤφθης ἄσειστος, καὶ ἀκέραιος, τῇ τούτου χαλεπότητι, τοῦ Χριστοῦ τῇ δυναστείᾳ.

Πυρπολούμενος, ἀγάπῃ τοῦ παντάνακτος, δρόσον οὐράνιον, ἔσχες ἐν σοὶ δαψιλῶς· διὸ ἀκατάφλεκτος, ῥιφεὶς εἰς κάμινον, ὤφθης Ἅγιε, τοὺς Παῖδας μιμησάμενος, τοὺς τρεῖς ἐν τῇ Βαβυλῶνι.

Ἐν τοῖς ἄθλοις σου, ἐχθρὸν τὸν δολιώτατον, εἰς τέλος ᾔσχυνας· καὶ τοῦτο Μάρτυς δηλῶν, καλῶν ὁ πολέμιος, τὴν ἧτταν ἅπασιν, ἐφανέρωσε, καὶ ἐν ἀέρι ᾤχετο, ὀδυρόμενος καὶ κλαίων.

*Θεοτοκίον.*

Ἱλαστήριον, τῆς ἀνθρωπίνης φύσεως, ὤφθης πανάμωμε, ἀποτεκοῦσα Χριστόν, τὸν πᾶσι δωρούμενον, τὴν ἀπολύτρωσιν, τὴν αἰώνιον, τοῖς προσκυνοῦσι Δέσποινα, τὸ ἐν σοὶ μέγιστον θαῦμα.

*ὁ δεύτερος. Ἰταμῷ θυμῷ τε καὶ πυρί.*

Λυσσωδῶς φερόμενοι πρὸς σέ, οἱ διῶκται σκοτώδει εἱρκτῇ παρέδωκαν, ἔνθα συγκλειόμενος ἐν χαρᾷ ἐκαρτέρεις, τὸν Χριστὸν μιμούμενος, καὶ κατὰ Παῦλον ὁλοκαρδίως τούτοις ἐφθέγγεσο· Ἰησοῦ ἀγάπης οὐδόλως τὸ πῦρ, δύνασθε μειῶσαι, ἀλλ᾽ αὐξήσετε αὐτό, ἐπάγοντες βασάνους.

Ἀνδρικὸν τὸ φρόνημα κρατῶν, γενναιότερος Μάρτυς εἱρκτῆς ἐκβέβλησαι, καὶ λαμπρῶς ἱστάμενος δικαστοῦ ἀπεκρίνου, ἐρωτήσεσι σοφῶς, τὴν τῶν εἰδώλων λατρείαν κηρύττων ἄθεσμον, ὡς ἀρνίον ἄκακον ἐν μέσῳ θηρῶν, ἐξηγριωμένων, τῶν πατέρων καὶ ἡμῶν, Θεὸν ὁμολογήσας.

Μανικῶς κατέκαυσαν πυρί, καὶ λαμπάσι τὸ σῶμά σου οἱ παράφρονες, ὡς θυσίαν εὔοσμον, ἐκ Θεοῦ σε δεχθέντα, ὡς τοὺς Παῖδας πάλαι τρεῖς, ἐν Βαβυλῶνι τριφθόγγως τῷ Κτίστῃ ψάλλοντας, θεολόγῳ γλώττῃ ἐν μέσῳ φλογός, τὸν δεδοξασμένον, τῶν πατέρων καὶ ἡμῶν, Θεὸν τὸν ἐν Τριάδι.

*Θεοτοκίον*

Ψάλλομέν σοι Μῆτερ τεκνικῶς, θείους ὕμνους εὐχαριστοῦντές σοι, ὅτι τὸν Παράδεισον, τὸν κλεισθέντα πάλαι, παραβάσει πατρικῇ, τῶν πρωτοπλάστων γεννήσει Μονογενοῦς Υἱοῦ σου ἡμῖν ἠνέῳξας, καὶ βατὴν ἀπέδειξας ὁδὸν πρὸς αὐτόν, τοῖς δοξολογοῦσι, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸν τὸν ἐν Τριάδι.

*Καταβασία*

Ἰταμῷ θυμῷ τε καὶ πυρί, θεῖος ἔρως ἀντιταττόμενος, τὸ μὲν πῦρ ἐδρόσιζε· τῷ θυμῷ δὲ ἐγέλα, θεοπνεύστῳ λογικῇ, τῇ τῶν ὁσίων



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τριφθόγγῳ λύρα ἀντιφθεγγόμενος, μουσικοῖς ὀργάνοις ἐν μέσῳ φλογός, ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

*Ὠιδὴ η΄. Ὁ Εἱρμός.*

Φλόγα δροσίζουσαν Ὁσίους, δυσσεβεῖς δὲ καταφλέγουσαν, Ἄγγελος Θεοῦ ὁ πανσθενής, ἔδειξε Παισί· ζωαρχικὴν δὲ πηγὴν εἰργάσατο τὴν Θεοτόκον, φθορὰν θανάτου, καὶ ζωὴν βλυστάνουσαν τοῖς μέλπουσι· τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ῥήμασιν εἴχοντο τῆς θείας, κιβωτοῦ τοῦ ἁγιάσματος, πᾶσα ἡ πληθὺς τῶν θεολόγων ἐν τῇ Σιών· Ποῦ νῦν ἀπαίρεις σκηνὴ κραυγάζοντες, Θεοῦ τοῦ ζῶντος; Μὴ διαλίπῃς ἐποπτεύουσα, τοὺς πίστει μέλποντας· Τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὅπως ὑψώσασα τὰς χεῖρας, ἐκδημοῦσα ἡ πανάμωμος, χεῖρας τὰς Θεὸν ἠγκαλισμένας, σωματικῶς ἐν παῤῥησίᾳ, ὡς Μήτηρ ἔφησε πρὸς τὸν τεχθέντα· Οὕς μοι ἐκτήσω, εἰς αἰῶνας φύλαττε βοῶντάς σοι· Τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

*Τοῦ Ἁγίου, ὁ πρῶτος. Παῖδας εὐαγεῖς.*

Γνώμῃ ἀθλητὰ ἀκαταπλήκτῳ, ἀνύων τῆς μαρτυρίας σου τὸν δίαυλον, τοῦ ἐχθροῦ κατέπληξας, ἅπαν ἐπινόημα· ἀφλέκτως ἀνημμένους γὰρ ἔφερες ἄνθρακας, χερσί σου καὶ κατέφλεξας πᾶσαν, δεισιδαιμονίαν, τῆς πλάνης καὶ ἀπάτην.

Ἔστης πρὸ τοῦ βήματος ἀνδρείως, ἀπίστων ὁμολογῶν Χριστοῦ τὴν σάρκωσιν· ἔνθεν ἀνενέργητα, ἐν σοὶ καθωράθησαν, θηρίων τὰ ὁρμήματα, καὶ πᾶσα βάσανος, καὶ φλόγες καὶ ξεσμοὶ καὶ συνθλίψεις, περιβεβλημένῳ, τοῦ Πνεύματος τὴν χάριν.

Ῥόδος ἡ περίφημος καυχᾶται, εὑρέσει τοῦ σοῦ ναοῦ καὶ τῆς εἰκόνος σου, Βίγλας δὲ ὁ οἶκός σου, χαίρει ὡς πλουτήσας σε, προστάτην καὶ ὑπέρμαχον Μάρτυς θερμότατον· διὸ καὶ τὴν ἁγίαν σου μνήμην, ἄγει χαρμοσύνως, Φανούριε τρισμάκαρ.

*Θεοτοκίον.*

Ἄφλεκτος τὸ πῦρ διεφυλάχθης, τεκοῦσα τὸ τῆς Θεότητος ἐν σώματι, Ἄχραντε πανάμωμε, μόνη ἀειπάρθενε· ὡς μέγα τὸ μυστήριον τῆς σῆς κυήσεως! διὸ κατάφλεξόν μου τὴν ὕλην, πάσης ἁμαρτίας, τῇ σῇ φιλανθρωπίᾳ.

*ὁ δεύτερος. Φλόγα δροσίζουσαν.*

Ὅλος προσδέδεσαι μαγγάνῳ, μαρτυρῶν τὸ ἀκατάβλητον, ὅπερ σοι δεδώρηται Χριστὸς Πνεύματι Αὐτοῦ· ἐπιποθῶν δὲ τρανῶς τὸν στέφανον τῆς ἀφθαρσίας, πάντα ἡγεῖσο, ὥσπερ κόνιν καὶ σποδὸν τὰ ἐπαγόμενα, τῷ Δημιουργῷ μόνῳ προσβλέπων, ὡς λελυτρωμένος, καὶ Αὐτὸν δοξάζων, Φανούριε μεγαλομάρτυς.

Νίκην τελέσαντα καὶ ἄλλην, τοῖς θηρσί σε ἐναπέῤῥιψαν, ἄγγελος Θεοῦ δὲ τὴν αὐτῶν, ἔσβησεν ὁρμήν· καὶ ὡς ἀμνοί σου κατέλειχον χεῖρας καὶ πόδας, φθορὰν μηδόλως προξενήσαντά σοι ὦ Φανούριε, τὸν Δημιουργὸν πόθῳ ὑμνοῦντα καὶ δοξολογοῦντα, ὡς Δανιὴλ ἐν λάκκῳ.

Κύκλῳ σου ἄνομοι ἑστῶτες, διηπόρουν τί ποιήσουσιν· πᾶσαι γὰρ αὐτῶν αἱ μηχαναί, ὤφθησαν ἀργαί. Διὸ μεγίστῳ λίθῳ συμπιέσαντες, φθορὰν τελείαν, προξενῆσαί σοι ἐνόμισαν οἱ τάλανες· ἀλλ’ ὁ στεφανῶν τοὺς ἐναθλοῦντας, ἔδειξέ σε σῷον, ἀνυμνολογοῦντα καὶ δοξολογοῦντα Αὐτὴν τὴν θείαν χάριν.

*Θεοτοκίον*

Ὕψος λοχείας σου Παρθένε, τίς ἐν λόγοις διηγήσεταικ Λόγον τοῦ Θεοῦ γὰρ ὡς βροτόν, ἔτεκες Σεμνή. Καὶ σωτηρίας διήνοιξας τὰς

πύλας, φθορὰν θανάτου, καταργήσασα τὴν προαιώνιον. Τὸν Δημιουργὸν ὅθεν ὑμνοῦμεν, οἱ λελυτρωμένοι, τὸν σὲ προστασίαν καὶ σκέπην ἡμῖν δόντα.

*Καταβασία*
*Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.*

Φλόγα δροσίζουσαν Ὁσίους, δυσσεβεῖς δὲ καταφλέγουσαν, Ἄγγελος Θεοῦ ὁ πανσθενής, ἔδειξε Παισί· ζωαρχικὴν δὲ πηγὴν εἰργάσατο τὴν Θεοτόκον, φθορὰν θανάτου, καὶ ζωὴν βλυστάνουσαν τοῖς μέλπουσι· τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

*Ὠιδὴ θ΄.*
*Μεγαλυνάριον, ὅπερ στιχολογεῖται ἐν ἑκάστῳ τροπαρίῳ.*
*Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον.*
*Ὁ Εἱρμός.*

Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ Παρθένε ἄχραντε· παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος. Ἡ μετὰ τόκον Παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σῴζοις ἀεί, Θεοτόκε, τὴν κληρονομίαν σου.

Ἐξίσταντο Ἀγγέλων αἱ δυνάμεις, ἐν τῇ Σιὼν σκοπούμεναι, τὸν οἰκεῖον Δεσπότην, γυναικείαν ψυχὴν χειριζόμενον· τῇ γὰρ ἀχράντως τεκούσῃ, υἱοπρεπῶς προσεφώνει· Δεῦρο Σεμνή, τῷ Υἱῷ καὶ Θεῷ συνδοξάσθητι.

Συνέστειλε χορὸς τῶν Ἀποστόλων, τὸ θεοδόχον σῶμά σου, μετὰ δέους ὁρῶντες, καὶ φωνῇ λιγυρᾷ προσφθεγγόμενοι· Εἰς οὐρανίους θαλάμους, πρὸς τὸν Υἱὸν ἐκφοιτῶσα, σῴζοις ἀεί, Θεοτόκε τὴν κληρονομίαν σου.

*Τοῦ Ἁγίου, ὁ πρῶτος. Ἅπας γηγενής.*

Στόματι λαμπρῷ, Χριστοῦ ὡμολόγησας τὸ μέγα ὄνομα, ἄνθος τῆς νεότητος, καὶ πᾶσαν ἄλλην λιπὼν ἀπόλαυσιν, Φανούριε

πανθαύμαστε, καὶ χαίρων ἤνυσας, τοὺς μεγίστους, πόνους τῆς ἀθλήσεως, ὡς Χριστοῦ στρατιώτης ἀήττητος.

Ἵνα τῆς σεπτῆς, Φανούριε τύχωσιν ἐπιστασίας σου, ἱερεῖς οἱ δέσμιοι, τῇ χάριτί σου θερμῶς προσέπεσον, καὶ παραδόξως Ἅγιε ἠλευθερώθησαν, τῇ ὀξείᾳ, Μάρτυς ἀντιλήψει σου, ἀνυμνοῦντες τὸ μέγιστον θαῦμά σου.

Μέγαν ἀληθῶς, προστάτην καὶ ἔφορον μάρτυς Φανούριε, πανταχοῦ σε κέκτηνται, οἱ τὸ σεπτόν σου καλοῦντες ὄνομα, καὶ τάχος τῆς εὐνοίας σου τὰ δῶρα δέχονται· διὰ τοῦτο, τὴν ἁγίαν μνήμην σου, χαρμοσύνως τελοῦμεν ὑμνοῦντές σε.

Ὁ νεοφανής, κἂν πάλαι ἠγώνισται μάρτυς Φανούριος, ἀνυμνολογείσθω μοι, ὡς τοῦ Σωτῆρος ὁπλίτης ἔνθεος· φανερωθεὶς ἐν Ῥόδῳ γὰρ πᾶσιν ἐπέφανε, πρυτανεύων, δαψιλῆ δωρήματα, τοῖς προστρέχουσι τούτῳ ἑκάστοτε.

*Θεοτοκίον.*

Ὕμνησαν Ἁγνή, τὸ μέγα μυστήριον τῆς σῆς κυήσεως, τάξεις ὑπερκόσμιοι, Θεὸν ὁρῶσαι ἐν σοὶ σαρκούμενον, πᾶσα ἡ γῆ δὲ πέπλησται τῆς σῆς αἰνέσεως, ὅτι πάντες, τῇ κυοφορίᾳ σου, τῆς ἀρχαίας κατάρας ἐῤῥύσθημεν.

*ὁ δεύτερος. Νενίκηνται τῆς φύσεως.*

Ῥητόρων οὐκ ἰσχύσουσιν αἱ γλῶσσαι, ὕμνον σοι πλέξαι ἄξιον· ὑπερέβης γὰρ νόμους, φυσικοὺς θεῖε μάρτυς Φανούριε, ἐν ταῖς χερσί σου βαστάσας, πλῆθος ἀνθράκων ἡμμένων, καὶ μὴ καείς, τοὺς τυράννους, ἀφώνους ἀπέδειξας.

Ἰσχὺς τοῦ διαβόλου κατεβλήθη, ἐν σοὶ κλεινὲ Φανούριε· αἰσθητῶς γὰρ ἐφάνη, καὶ ὡς ἦτταν δεχθεὶς ἀπεκλαίετο. Καὶ γὰρ αὐτοῦ αἱ δυνάμεις, ὁλοτελῶς ἀχρειοῦνται, ὅτε Χριστός, ἐνισχύει, τοὺς ἁγίους αὐτοῦ μάρτυρας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὀρθὸς ἐν τῇ καμίνῳ ηὔχου Μάρτυς, καὶ οὐδαμῶς ἐφλέγεσο· ὅθεν ξίφει τὴν κάραν, ἀπετμήθης καὶ στέφος ἀπείληφας, διὰ τοὺς θείους σου ἄθλους, δι᾽ οὓς Χριστὸς ἐδοξάσθη, καὶ τοὺς πιστούς, κατευφραίνεις, τοὺς ἀνευφημοῦντάς σε.

Ὑπέρκειται νοήσεως τῶν ὅρων, τὸ τελεσθὲν θαυμάσιον· τῶν τριῶν ἱερέων, οὓς δεσμῶν θαυμασίως ἀπέλυσας, καὶ ἐπανήγαγες πάλιν, εἰς μεγαλόνησον Κρήτην, ἔνθα τρανῶς, σὴν μεσιτείαν, Φανούριε ἀνεκήρυττον.

*Θεοτοκίον*

Ἀγγέλων καὶ ἀνθρώπων αἱ χορεῖαι, ἐν σοὶ Παρθένε χαίρουσι· τῷ σεπτῷ σου γὰρ τόκῳ, τὴν χαρὰν τῶν ἁπάντων ἐβάστασας, καὶ μητρικαῖς ἱκεσίαις, τοῦ Παραδείσου τὰς πύλας, πᾶσι πιστοῖς, διανοίγεις. Ὅθεν σε δοξάζομεν.

*Καταβασία*
*Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον.*

Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ Παρθένε ἄχραντε· παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος. Ἡ μετὰ τόκον Παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σῴζοις ἀεί, Θεοτόκε, τὴν κληρονομίαν σου.

*Ἐξαποστειλάριον.*
*Ἦχος β΄. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Μαρτυρικῶς ἠγώνισαι, στεῤῥοτάτῃ καρδίᾳ, καὶ τοῦ ἐχθροῦ κατέβαλες, τὸ μαινόμενον θράσος, ποικιλοτρόποις αἰκίαις, ὁμιλήσας ἀνδρείως, μεγαλομάρτυς ἔνδοξε, καὶ στεφάνοις τῆς νίκης παρὰ Χριστοῦ, εὐκλεῶς Φανούριε ἐκοσμήθης· ᾧ πρέσβευε δεόμεθα, ὑπὲρ τῶν σὲ ἀνυμνούντων.

*καὶ τῆς ἑορτῆς, ἦχος γ΄.*

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα, καὶ σὺ Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ πνεῦμα.

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

*Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν προσόμοια.*

*Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Τὸν ἀθλητὴν τοῦ Κυρίου μέγαν Φανούριον, τὸν πάλαι ἠθληκότα, δι᾽ ἀγάπην Κυρίου, καὶ ἄγνωστον τελοῦντα χρόνοις τοῖς πρίν, ἐν τῇ Ῥόδῳ δὲ ὕστερον, φανερωθέντα τῇ θείᾳ ἐπισκοπῇ, φιλομάρτυρες τιμήσωμεν.

Φῶς φερωνύμως αὐγάζεις πᾶσι Φανούριε, λαμπρῶς ἐξανατείλας, τῇ Χριστοῦ Ἐκκλησίᾳ, καὶ νύκτα διαλύεις τῶν πειρασμῶν, καὶ κινδύνων καὶ θλίψεων, τῆς παμφαοῦς προστασίας σου ταῖς αὐγαῖς, ὡς ἡμῶν πρέσβυς πρὸς Κύριον.

Τοῦ μαρτυρίου τοὺς ἄθλους στεῤῥῶς διήνυσας, καὶ ὤφθης ὑπεράνω, καὶ πυρὸς καὶ σιδήρου, στομώσας σου τὸ σῶμα πόθῳ Χριστοῦ, ἀθλοφόρε Φανούριε· διὸ πλουσίων ἐπάθλων παρὰ Χριστοῦ, ἐκομίσω τὴν ἀντίδοσιν.

Τοὺς ἱερεῖς ὡς ἐῤῥύσω ὄντας δεσμώτας τὸ πρίν, τῇ σῇ πρὸς τὸν Δεσπότην, θαυμαστῇ παῤῥησίᾳ, οὕτω πάσης ῥύου πιστοὺς συμφορᾶς, καὶ ἀνάγκης Φανούριε· τοὺς ἀσκουμένους δὲ οἴκῳ σου τῷ σεπτῷ, ἐν τῇ Βίγλᾳ διαφύλαττε.

*Δόξα. Ἦχος πλ. α΄.*

Ἀθλητικοῖς σκάμμασι, τὸν Χριστὸν ἐδόξασας, σαὐτὸν ἀρνησάμενος, ἀθλοφόρε Φανούριε· προθύμως γὰρ ἀπεδύσω, τῇ δι᾽ αἵματος πάλῃ, καὶ θάνατον ἀθανασίας πρόξενον ἐδέξω, ὑπὲρ τῆς πάντων ζωῆς· διὸ ἀϊδίων γερῶν ἠξίωσαι, καὶ ἀθανάτων ἀμοιβῶν μετέσχες, καὶ προστάτης θερμότατος, τῇ Ἐκκλησίᾳ ἐδόθης. Ἀλλ᾽ ὦ

Μαρτύρων ἐγκαλλώπισμα, μὴ παύσῃ ἡμῖν ἱλεούμενος, Χριστὸν τὸν φιλάνθρωπον.

*Καὶ νῦν. Τῆς ἑορτῆς, ὁ αὐτός.*

Ἄισατε λαοί, τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν, ᾄσατε· σήμερον γὰρ τὴν ὁλόφωτον ψυχὴν αὐτῆς, εἰς τὰς ἀχράντους παλάμας, τοῦ ἐξ αὐτῆς σαρκωθέντος ἄνευ σπορᾶς, παρατίθησιν, Ὧι καὶ πρεσβεύει ἀδιαλείπτως, δωρηθῆναι τῇ οἰκουμένῃ εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

*Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.*

*Εἰς τὴν Θείαν Λειτουργίαν*

*Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τῶν Κανόνων τοῦ Ἁγίου αἱ γ´ τοῦ α΄ καὶ ς´ τοῦ β΄ ᾠδαί.*

*Ἀπόστολον ζήτει τῇ κζ´ Κυριακῇ, Εὐαγγέλιον δὲ τὸ ἐν τῇ Λειτουργίᾳ τοῦ ἁγίου Γεωργίου, τῇ ΚΓ´ Ἀπριλίου.*

*Κοινωνικόν·* Εἰς μνημόσυνον αἰώνιον.
*Μεγαλυνάρια*

Χαίροις ὦ Φανούριε ἀθλητά, ὁ πᾶσι παρέχων, τὰ αἰτήματα συμπαθῶς· χαίροις εὐσεβούντων, ὁ μέγας ἀντιλήπτωρ, καὶ πάσης Ἐκκλησίας, θεῖον ἀγλάϊσμα.

Τοὺς ἀσπαζομένους τὴν σὴν σεπτήν, εἰκόνα ἐν πίστει, καὶ αἰτοῦντας σὴν ἀρωγήν, Μάρτυς κληρονόμους, τῆς θείας Βασιλείας, Φανούριε λιταῖς σου, πάντας ἀνάδειξον.

*ἕτερον νεοσύνθετον*
Φύλαττε Φανούριε θαυμαστέ, ὅσοι ἐνασκοῦνται, ἐν καλύβῃ σου ἱερᾷ, οὔσῃ ἐν τῇ Βίγλᾳ, καὶ τούτους Βασιλείας, συγκληρονόμους δεῖξον, εὐχαῖς ἁγίαις σου.